# Canon to Saint Anastasia Pharmakolytria (In Modern Greek)



# <u>ΚΑΝΩΝ ΕΙΣ ΤΗΝ ΑΓΙΑΝ ΜΕΓΑΛΟΜΑΡΤΥΡΑ ΑΝΑΣΤΑΣΙΑΝ ΤΗΝ ΦΑΡΜΑΚΟΛΥΤΡΙΑΝ</u>

**Ο Ιερεύς:** Ευλογητός ο Θεός ημών, πάντοτε νυν και αεί και εις τους αιώνα των αιώνων.

**Ο Αναγνώστης:** Αμήν.

**Ψαλμός ρμβ` (142)**

Κύριε, εισάκουσον της προσευχής μου, ενώτισαι την δέησίν μου εν τη αληθεία σου, εισάκουσόν μου εν τη δικαιοσύνην σου. Και μη εισέλθης εις κρίσιν μετά του δούλου σου, ότι ού δικαιωθήσεται ενώπιόν σου πας ζών. Ότι κατεδίωξεν ο εχθρός την ψυχήν μου΄εταπείνωσεν εις γήν την ζωήν μου. Εκάθισέ με εν σκοτεινοίς ως νεκρούς αιώνος΄ και ηκηδίασεν επ΄εμέ το πνεύμα μου, εν εμοί εταράχθη ή καρδία μου. Εμνήσθην ημερών αρχαίων, εμελέτησα εν πάσι τοις έργοις σου, εν ποιήμασι των χειρών σου εμελέτων. Διεπέτασα προς σε τας χείρας μου΄η ψυχή μου ως γη ανυδρός σοι. Ταχύ εισάκουσόν μου, Κύριε΄ εξέλιπε το πνεύμα μου. Μη αποστρέψης το πρόσωπον Σου απ΄εμού και ομοιοθήσομαι τοις καταβαίνουσιν εις λάκκον. Ακουστόν ποίησόν μοι το πρωϊ το έλεός σου, ότι επί σοι ήλπισα. Γνώρισον μοι, Κύριε, οδόν, εν η πορεύσομαι, ότι προς σε ήρα την ψυχήν μου. Έξελού με εκ των εχθρών μου, Κύριε΄ προς Σε κατέφυγον, δίδαξον με του ποιείν το θέλημά σου, ότι Σύ ει ο Θεός μου. Το πνεύμα Σου το αγαθόν οδηγήσει με εν γή ευθεία΄ ένεκεν του ονόματος Σου, Κύριε , ζήσεις με. Εν τη δικαιοσύνη Σου εξάξεις εκ θλίψεως την ψυχήν μου, και εν τω ελέει Σου εξολοθρεύσεις τους εχθρούς μου΄ και απολείς πάντας τους θλίβοντας την ψυχήν μου, ότι εγώ δούλος Σου ειμί.

*Ευθύς ψάλλομεν. Ήχος δ΄*

Θεός Κύριος και επέφανεν ημίν, ευλογημένος ο ερχόμενος, εν όνόματι Κυρίου.(Τετράκις)

*Είτα τα παρόντα τροπάρια*

*Ήχος δ΄ Ο Υψωθείς εν τω Σταυρῷ.*

Ως των νοσούντων ταχινή θεραπεία, και πεπτωκότων εξανάστασις θεία, Αναστασία μάρτυς καλλιπάρθενε, λύτρωσαι τους κάμνοντας συντριμμών ολεθρίων, έγειρον πρεσβείαις σου, εκ βυθού απωλείας, τους ολοτρόπω πίστει και στοργή τη ιερά σου Εικόνι προστρέχοντας.

Δόξα Πατρί και Υιώ και Αγίω Πνεύματι.

Την αθλοφόρων του Χριστού την πανένδοξον, Αναστασίαν οι πιστοί ικετεύσωμεν, όπως Χριστός δεήσεσιν αυτής τειχίσηται ημάς, όνπερ επεπόθησεν ως νυμφίον ουράνιον, πάντα αποπτύσασα προς την τούτο απόλαυσιν. Κατ΄ αοράτων γαρ εχθρών και ορατών μεσίτης πέλει Κυρίω ευπρόσδεκτος.

Και νύν και αεί και εις τους αιώνας των αιώνων. Αμήν.

*Ήχος δ, . Ὁ υψωθείς εν τω σταυρώ.*

Ού σιωπήσωμέν ποτε Θεοτόκε, τας δυναστείας σου λαλείν οι ανάξιοι΄ ει μη γαρ συ προΐστασο πρεσβεύουσα, τις ημάς ερρύσατο εκ τοσούτων κινδύνων; Τίς δε διεφύλαξεν έως νύν ελευθέρους; Ούκ αποστώμεν, Δέσποινα, εκ σού΄ σούς γάρ δούλους σώζεις αεί, εκ παντοίων δεινών.

## **Ψαλμός ν΄50ος**

Ό Αναγνώστης (χύμα)

Ελέησόν με , ο Θεός , κατά το μέγα έλεος σου, και κατά το πλήθος των οικτιρμών σου εξάλειψον το ανόμημα μου. Επί πλείον πλύνον με από της ανομίας μου και από Της αμαρτίας μου καθάρισόν με. Ότι την ανομίαν μου εγώ γινώσκω, και η αμαρτία μου ενώπιον μου εστί δια παντός. Σοι μόνω ήμαρτον και το πονηρόν ενώπιον σου εποίησα, όπως αν δικαιωθής εν τοις λόγοις σου και νικήσης εν τω κρίνεσθαί σε. Ιδού γαρ εν ανομίαις συνελήφθην, και εν αμαρτίαις εκίσσησέ με ή μήτηρ μου. Ιδού γαρ αλήθειαν ηγάπησας, τα άδηλα και τα κρύφια της σοφίας σου εδήλωσάς μοι. Ραντίεις με υσσώπω και καθαρισθήσομαι, πλυνείς με και υπέρ χιόνα λευκανθήσομαι. Ακουτιείς μοι αγαλλίασιν και ευφροσύνην, αγαλιάσονται οστέα τεταπεινωμένα. Απόστρεψον το πρόσωπον σου από των αμαρτιών μου και πάσας τας ανομίας μου εξάλειψον. Καρδίαν καθαράν κτίσον εν εμοί, ο Θεός, και πνεύμα ευθές εγκαίνισον εν τοις εγκάτοις μου. Μη απορρίψης με από του προσώπου σου και το πνεύμα σου το άγιον μη αντανέλης απ΄ εμού. Απόδος μοι την αγαλλίασιν του σωτηρίου σου, και πνεύματι ηγεμονικώ στήριξον με. Διδάξω ανόμους τας οδούς σου, και ασεβείς επί σε επιστρέψουσι. Ρύσαι με εξ αιμάτων, ο Θεός, ο Θεός της σωτηρίας μου αγαλλιάσεται η γλώσσα μου την δικαιοσύνην σου. Κύριε τα χείλη μου ανοίξεις, και το στόμα μου αναγγελεί την αίνεσιν σου. Ότι, ει θέλησας θυσίαν, έδωκα αν ολοκαυτώματα ουκ ευδοκήσεις. Θυσία τω Θεώ πνεύμα συντετριμένον καρδίαν συντετριμένην και τεταπεινωμένη ο Θεός ουκ εξουδενώσει.

Αγάθυνον, Κύριε, εν τη ευδοκία σου την Σιών, και οικοδομηθήτω τα τείχει Ιερουσαλήμ. Τότε ευδοκήσεις θυσίαν δικαιοσύνης, αναφοράν κα ολοκαυτώματα. Τότε ανοίσουσιν επί το θυσιαστήριον σου μόσχους.

*Είτα ψάλλομεν τον κανόνα ού η ακροστιχίς΄*
*«Έγειρον ημάς παθών Αναστασία. »*
*Ωδή α΄ Ήχος πλ. Δ΄ Υγράν διοδεύσας.*

Επίνευσον μάρτυς ως ευμενής, υμών τη δεήσει, και πρυτάνευσον δαψιλώς, των σων δωρεών τας χορηγίας, Αναστασία τοις σε μεγαλύνουσι.

Αγία του Θεού, πρέσβευε υπέρ ημών.

Γαλήνην εν βίω ειλικρινεί, και πάντων σκανδάλων, την τελείαν αποφυγήν, ημάς ενδυνάμωσον παμμάκαρ, ίχνηλατείν διά βίου και σώζεσθαι.

Δόξα Πατρί και Υιώ και Αγίω Πνεύματι.

Επίχεε άνωθεν δαψιλώς το έλαιον μάρτυς, των φαρμάκων των μυστικών, και ίασαι νόσων δυσιάτων, Αναστασία, ημάς τους ικέτας σου.

Και νύν και αεί και εις τους αιώνας των αιώνων. Αμήν.

Ιλύος με κάθαρον εμπαθούς, και σώσον με Κόρη, επελθούσης μοι συμφοράς΄ μη ούν καταλίπης με Παρθένε, ίνα μη γέλως τοις πάσι γενήσωμαι.

*Ωδή γ΄. Ουρανίας αψίδος.*

Ρυπτική σου πρεσβεία τα των ψυχών τραύματα, και τα των σωμάτων άφθονον, πάσι χορήγησον.

Αγία του Θεού, πρέσβευε υπέρ ημών.
Οδυνών δυσφορήτων, ανιαρών θλίψεων, ζάλης και πικράς αθυμίας, εκ παραπτώσεων, και κοσμικών πειρασμών, Αναστασία θεόφρον, επιστάσα λύτρωσαι, ημάς τους ικέτας σου.

Δόξα Πατρί και Υιώ και Αγίω Πνεύματι.

Νεκταρόβρυτον νάμα, ύδωρ ζωής ήδιστον, οιά περ πηγή ευσπλαχνίας, και αγαθότητος. Αναστασία σεμνή, τοις εν αυχμώ τηκομένοις, κατωδύνων θλίψεων, ράνον και όμβρησον.

Και νύν και αεί και εις τους αιώνας των αιώνων. Αμήν.

Ή λαμπάς η φωσφόρως, της υπέρ νούν λάμψεως, η ανατολή η γλυκεία, ζωής του σέλαος, λάμψον ακτίνά μοι, της αληθούς μετανοίας΄ σκότει γαρ καλύπτομαι, πάσης φαυλότητος.

Διάσωσον, από κινδύνων τους δούλους σου Θεοτόκε, ότι πάντες μετά Θεόν εις σε καταφεύγομεν, ως άρηκτον τείχος και προστασία.

Ανάστησον Αναστασία θεόφρον τους σους ικέτας, εκ συντριμάτων και χαλεπών περιστάσεων, και σεσωσμένους προσάγαγε τω Κυρίω.

Υπεραγία Θεοτόκε σώσων υμάς

Επίβλεψον εν ευμενεία πανύμνητε Θεοτόκε, επί την εμήν χαλεπήν του σώματος κάκωσιν, και της ψυχής μου το άλγος.

*Αίτησις και το κάθισμα.*

*Είτα μνημονεύει ο Ιερεύς εκείνων δι΄ ους η Παράκλησις γίνεται*

Ότι ελεήμον και φιλάνθρωπος

*Ήχος πλ. β΄. Τοις των αιμάτων σου.*

Τοις των θαυμάτων σου θείοις πυρσεύμασι, των παθημάτων ελαύνεις την μοίρασιν, και την υγείαν παρέχεις τοις χρήζουσιν, Αναστασία, Χριστού σεμνοπάρθενε΄συ γάρ των νοσούντων ιάτειρα.

*Ωδή δ΄. Εισακήκοα Κύριε……*

Μοχθηρόν και επώδηνον, ως αποσκιρτήσας της θείας χάριτος, διανύω βίον ένδοξε, αλλά συ Χριστώ με επανάγαγε.

Αγία του Θεού, πρέσβευε υπέρ ημών.

Αλεξίκακον άριστον, η της προστασίας σου επισκίασις, εν βιαίαις περιστάσεσιν, ω Αναστασία ημίν γένοιτο.

Δόξα Πατρί και Υιώ και Αγίω Πνεύματι.

Συμφορών το επίπονον, και ασθενημάτων δεινών την έφοδον, εξ ΄ημών απείργεις πάντοτε; Ω Αναστασία καλλιπάρθενε.

Και νύν και αεί και εις τους αιώνας των αιώνων. Αμήν.

Αγαλίασιν άυλον, τη λελυπημένη ψυχή μου όμβρυσον, ώσπερ δρόσον χαριτόβρυτον Κεχαριτωμένη Μητροπάρθενε.

*Ωδή ε΄. Φώτισον ημάς*

Θαύμασι πολλοίς, και ιάσεων δυνάμεσι, διαπρέπουσα εν κόσμω εμφανώς, πανταχού πάντας προφθάνεις τους καλούντας σε.

Αγία του Θεού, πρέσβευε υπέρ ημών.

Ώφθης αρωγός, τοις ποικίλως κινδυνεύουσιν, επιφαινομένη νοερώς, και τον σάλον καταπαύουσα των θλίψεων.

Δόξα Πατρί και Υιώ και Αγίω Πνεύματι.

Νόσων χαλεπών, στεναγμών τε και κακώσεων, και ταλαιπωρίαις πειρασμών, ώ Αναστασία ημάς λύτρωσαι.
Και νύν και αεί και εις τους αιώνας των αιώνων. Αμήν.

Άγνοιαν δεινήν, εκνοσήσας βίω χείρονι, συνεσχέθην καταιγίσι πειρασμών, αλλά τούτων, Θεοτόκε, σύ με λύτρωσαι.

*Ωδή στ΄. Την δέησιν.*

Νενέκρωμαι, αμαρτίας βέλεσι, τοξευθείς τη του εχθρού συνεργρεία και κατωτάτω απέριμμαι λάκκω, και εν σκιά του θανάτου κατώκησα, αλλ΄ επιστάσα συ σεμνή, εκ βυθού των κακών με ανάγαγε.

Αγία του Θεού, πρέσβευε υπέρ ημών.

Ανάρρωσιν, και τελείαν λύτρωσιν, τοις εν πόνοις τρυχομένοις ατρύτοις, ως φιλοικτίρμων πρυτάνευσον Μάρτυς, και θλιβομένων την λύπην μετάστρεψον, Αναστασία μυστικώς, εις χαράν αληθή και φαιδρότητα.

Δόξα Πατρί και Υιώ και Αγίω Πνεύματι.

Σωμάτων σε, ιατρόν πανάριστον, και πνευμάτων αληθή θεραπείαν, ο των ψυχών και σωμάτων Δεσπότης, Αναστασία λαμπρώς απειργάσατο΄διό θεράπευσον ημών, και ψυχών και σωμάτων τους μώλωπας.

Και νύν και αεί και εις τους αιώνας των αιώνων. Αμήν.

Των ρήσεων, του σεπτού θελήματος παρακούσας, αγνωσία εσχάτη απεμακρύνθην Θεού ο παντλήμων, και χλευασμός τοις πλησίον μου γέγονα΄ διο οικτρού ονειδισμού, Θεοτόκε μου, σύ με διάσωσον.

Διάσωσον, από κινδύνων τους δούλους σου Θεοτόκε, ότι πάντες μετά Θεόν εις σε καταφεύγομεν, ως άρηκτον τείχος και προστασία.
Ανάστησον Αναστασία θεόφρον τους σους ικέτας, εκ συντριμάτων και χαλεπών παραπτώσεων, και σεσωσμένους προσάγαγε τω Κυρίω.

Υπεραγία Θεοτόκε σώσων υμάς.

Άχραντε η διά λόγου τον Λόγον ανερμηνεύτως επ΄ εσχάτων των ημερών τεκούσα δυσώπησον, ως έχουσα μητρικήν παρρησίαν.

*Και πάλιν δέησις υπό του Ιερέως.*
*Αίτησις και το κοντάκιον*

*Ήχος πλ. β΄. Τα άνω ζητών.*
Τα πάθη ημών, τα μυσαρά και χρόνια, ροπή μυστική, Αναστασία ίασαι, και ζωήν ακίνδυνον, διανύειν ημάς καταξίωσον, ως αν των θείων εντολών, τρυγήσωμεν πάντες, τους ενθέους καρπούς.

*Και ευθύς το Προκείμενον*
Υπομένων υπέμεινα τον Κύριον, και πρόσεχε μοι, και εισήκουσε της δεήσεως μου..

Στίχος. Και έστησεν επί πέτραν τους πόδας μου, και κατεύθυνε τα διαβήματά μου.

**Ο Ιερεύς:** Και υπέρ του καταξιωθήναι ημάς της ακροάσεως του Αγίου Ευαγγεκίου…..

**Ό Χορός:** Κύριε Ελέησον (τρίς)

**Ο Ιερεύς:** Σοφία΄ ορθοί, ακούσωμεν του αγίου Ευαγγελίου. Ειρήνη πάσι.

**Ό Χορός:** Και τω πνεύματί σου.
**Ο Ιερεύς:** Εκ του κατά Ματθαίον αγίου Ευαγγελίου, το ανάγνωσμα. Πρόσχωμεν

**Ό Χορός:** Δόξα Σοι, Κύριε, δόξα Σοι.

**Ο Ιερεύς:** (Ματθ. 10, 16-22) Είπεν ο κύριος της εαυτού Μαθηταίς Ιδού εγώ αποστέλλω υμάς, ως πρόβατα εν μέσω λύκων. Γίνεσθε ουν φρόνιμοι ως οι όφεις, και ακέραιοι ως αι περιστεραί. προσέχετε δε από των ανθρώπων παραδώσουσι γαρ υμάς εις συνέδρια και εν συναγωγαίς αυτών μαστιγώσουσιν υμάς. και επί ηγεμόνας δε και βασιλείς αχθήσεσθε ένεκεν εμού εις, μαρτύριον αυτοίς και τοις έθνεσιν. Όταν δε παραδιδώσιν υμάς, μη μεριμνήσητε πως η τι λαλήσητε΄ δοθήσεται γαρ υμίν εν εκείνη τη ώρα τι λαλήσητε΄ ου γαρ υμείς έστε οι λαλούντες, αλλά το πνεύμα του πατρός υμών, το λαλούν εν υμίν. Παραδώσει δε αδελφός αδελφόν εις θάνατων, και πατήρ τέκνων΄ και επαναστήσονται τέκνα επί γονείς, και θανατώσουσιν αυτούς. Και έσεσθε μισούμενοι υπό πάντων δια το όνομά μου΄ ο δε υπομείνας εις τέλος , ούτος σωθήσεται.

**Ό Χορός:** Δόξα Σοι, Κύριε, δόξα Σοι.

*Ήχος πλ. β΄.*

Δόξα Πατρί και Υιώ και Αγίω Πνεύματι.

αίς της Αθληφόρου πρεσβείες, Ελεήμον, εξάλειψον τα πλείθη των εμών εγκλημάτων.

Και νύν και αεί και εις τους αιώνας των αιώνων. Αμήν.
Ταίς της Θεοτόκου πρεσβείες, Ελεήμον, εξάλειψον τα πλείθη των εμών εγκλημάτων.

Στίχος. Ελέησον με ο Θεός κατά το μέγα έλέος σου, και κατά το πλήθος των οικτιρμών σου εξάλειψον το ανόνημά μου.

*Ήχος πλ. β΄. Όλην αποθέμενοι.*

Ρώσιν αδαπάνητον, ψυχών ομού και σωμάτων, ως πηγή ακένωτος, επομβρία κρείττονι, αναβλύζουσα, των παθών κάθαρον, και των νοσημάτων, τας σπιλάδας και προστρίμματα, εξ ημών τέλειον, ω Αναστασία πολύαθλε, υγείας ιλαρότητα, της κατ΄ άμφω πάσι παρέχουσα, και τον σον νυμφίον, απαύστως καθικέτευε Χριστόν, αμαρτημάτων συγχώρησιν δούναι τοις τιμώσι σε.

**Ο Ιερεύς:** Σώσον, ο Θεός, τον λαόν σου, και ευλόγησον την κληρονομίαν σου΄ επίσκεψαι τον κόσμον σου εν ελέει και οικτιρμοίς΄ύψωσον κέρας Χριστιανών Ορθοδόξων, και κατάπεμψον εφ΄ ημάς τα ελέη σου τα πλούσια΄ πρεσβείαις της παναχράντου Δεσποίνης ημών Θεοτόκου και αειπαρθένου Μαρίας΄ δυνάμει του τιμίου και ζωποιού Σταυρού΄ προστασίαις των τιμίων, επουρανίων δυνάμεων ασωμάτων΄ ικεσίαις του τιμίου, ενδόξου Προφήτου, Προδρόμου και Βαπτιστού Ιωάννου΄ των αγίων ενδόξων και πανευφήμων Αποστόλων των εν αγίοις Πατέρων ημών, μεγάλων Ιεραρχών και οικουμενικών Διδασκάλων, Βασιλείου του Μεγάλου, Γρηγορίου του θεολόγου και Ιωάννου του χρυσοστόμου, Αθανασίου και Κυρίλλου, Ιωάννου του Ελεήμονος, πατριαρχών Αλεξανδρείας΄ Νικολάου του εν Μύροις, Σπυρίδωνος επισκόπου Τριμυθούντος, των θαυματουργών΄ των αγίων ενδόξων μεγαλομαρτύρων Γεωργίου του Τροπαιοφόρου, Δημητρίου του Μυροβλήτου, Θεοδώρου του Τήρωνος και Θεοδώρου του Στρατηλάτου, των ιερομαρτύρων Χαραλάμπους και Ελευθερίου΄ των αγίων ενδόξων και καλλινίκων Μαρτύρων΄ της αγίας ενδόξου Μεγαλομάρτυρος Αναστασίας της Φαρμακολυτρίας, της αγίας Μητρός ημών Θεοφανούς της βασιλίσσης, κτίτορος της Μονής ταύτης΄ των Οσίων και θεοφόρων Πατέρων ημών΄ του οσίου και θεοφόρου Πατρός ημών Θεωνά, αρχιεπισκόπου Θεσσαλονίκης, ηγουμένου και ανιδρυτού της Ιεράς Μονής τούτης, των οσιομαρτύρων Ιακώβου του Γέροντος, Ιακώβου διακόνου και Ιακώβου μοναχού΄ των αγίων και δικαίων θεοπατόρων Ιωακείμ και Άννης΄(του Αγίου της ημέρας, εάν

εορτάζηται) και πάντων σου των Αγίων. Ικετεύομεν σε, μόνε πολυέλεε Κύριε, επάκουσον ημών των αμαρτωλών δεομένων σου και ελέησον ημάς.

**Ό Χορός:** Κύριε Ελέησον (τρίς)

**Ο Ιερεύς:** Ελέει και οικτιρμοίς και φιλανθρωπία του Μονογενούς σου Υιού, μεθ΄ ου ευλογητός ει, συν τω παναγίω και αγαθώ και ζωοποιώ σου Πνεύματι, νυν και αεί, και εις τους αιώνας των αιώνων.

**Ό Χορός:** Αμήν.

*Ωδή ζ΄. Παίδες Εβραίων.*

Άλυτον βίον ειρηναίον, εν σεμνότητι και πάση ευσεβεία, διανύειν ημάς, ενίσχυσον λιταίς σου, Αναστασία ένδοξε, ιαμάτων η πλυμμύρα.

Αγία του Θεού, πρέσβευε υπέρ ημών.

Σβέσον την φλόγα των παθών μου, και κατάπαυσον τον πόνον της ψυχής μου, και χαράν αληθή και θείαν ευφροσύνην, Αναστασία δώρησαι, τω δεινώς κεκακωμένω.

Δόξα Πατρί και Υιώ και Αγίω Πνεύματι.

Ίδε ευσπλάγχω ομματί σου, την ταπείνωσιν ημών Μεγαλομάρτυς, και μεγάλων κακών, ημίν επερχομένων, την ρύμην αναχαίτισον, τη μεγίστη σου πρεσβεία.

Και νύν και αεί και εις τους αιώνας των αιώνων. Αμήν.
Άκουσον Κόρη της φωνής μου, ενωτίσθητι μυχίους στεναγμούς μου, και μελλούσης οργής, και φανεράς αισχύνης, ως οιδάς με απάλλαξον, τον δεινώς συντετριμένον.

*Ωδή η΄. Τον εν όρει αγίω.*

Γεωργία της σης επιστασίας, παθημάτων δεινών, αμάσπασον τας ρίζας, εκ των ψυχών ημών θεομακάριστε, και της αφθαρσίας, εμφύτευσον εν ταύταις, τας θείας αναδόσεις.

Αγία του Θεού, πρέσβευε υπέρ ημών.

Εφορώσα ημάς μη διαλίπης, τούς την σην αρωγήν, νυν επιβοωμένους, Αναστασία Μάρτυς καλλιπάρθενε, όπως λυτρωθώμεν πάσης επηρείας, εχθρού, του παλαμναίου.

Δόξα Πατρί και Υιώ και Αγίω Πνεύματι.

Ρέει άφθονον χάριν ιαμάτων, ή πανσέβαστος, και ιερά Εικών σου, και νοσημάτων σβέννυσι τους άνθρακας, και τους φλεγομένους θλίψεσιν ατρύτοις, ενθέως αναψύχει.

Και νύν και αεί και εις τους αιώνας των αιώνων. Αμήν.

Από πάσης οργής θανατηφόρου και βουλής πονηράς, του αρχηγού του σκότους, ευλογημένη σώσον με Πανάμωμε, και της ενεστώσης ρύσαι με ανάγκης, τη ση επιστασία.

*Ωδή θ΄. Κυρίως Θεοτόκιον.*

Σωμάτων σηπεδόνας, και ψυχών τας νόσους, τη μυστική χειρουργεία θεράπευσον, Αναστασία Θεόφρον, των προσιόντων σοι.
Αγία του Θεού, πρέσβευε υπέρ ημών.

Ιλλεώσαι σοις δούλοις, τη ση μεσιτεία, τον αγαθόν και ευίλατον Κύριον, ως αν της τούτο τρυφήσωμεν αγαθότητος.

Δόξα Πατρί και Υιώ και Αγίω Πνεύματι.

Ολόσωμων το τραύμα, κέκτημαι ο τάλας, αλλ΄ επιστάσα συ Μάρτυς με ίασαι, και πρός οδόν μετανοίας, ήδη με ίθυνον. Και νύν και αεί και εις τους αιώνας των αιώνων. Αμήν.

Υπεραγία Θεοτόκε σώσων υμάς. Υψίστου ώφθης, θρόνος, Κεχαριτωμένη, διό καμέ εκ των κάτω ανύψωσον, πρός αληθείς αναβάσεις ζωής της κρείτονος.

*Και ευθύς το Προκείμενον*

Αξιόν εστίν ως αληθώς μακαρίζειν σε την Θεοτόκον, την αειμακάριστον και παναμώμητον και μητέρα του Θεού ημών.
Τήν τιμιωτέραν των Χερουβίμ και ενδοξοτέραν ασυγκρίτως των Σεραφείμ, την αδιαφθόρως Θεόν Λόγων τεκούσαν, την όντως Θεοτόκον σε μεγαλύνομεν. Τήν τιμιωτέραν των Χερουβίμ, και ενδοξοτέραν, ασυγκρίτως των Σεραφίμ, την αδιαφθόρως Θεόν Λόγον τεκούσαν, την όντως Θεοτόκον, σε μεγαλύνομεν.

Τήν υψηλοτέραν των ουρανών, και καθαρωτέραν, λαμπηδόνων ηλιακών, την λυτρωσαμένην, ημάς εκ της κατάρας, την Δέσποιναν του κόσμου, ύμνοις τιμήσωμεν.

Από των πολλών μου αμαρτιών, ασθενεί το σώμα, ασθενεί μου και η ψυχή. Προς σε καταφεύγω, την κεχαριτωμένην΄ ελπίς απηλπισμένων, συ μοι βοήθησον. Δέσποινα και μήτηρ του Λυτρωτού, δέξαι παρακλήσεις, αναξίων σων ικετών, ίνα μεσιτεύσης, προς τον εκ σου τεχθέντα. Ω Δέσποινα του κόσμου, γενού μεσίτρια.

ψάλλομεν προθύμως σοι την ωδήν, νυν τη πανυμνήτω, Θεοτόκω χαρμονικώς, μετά του Προδρόμου, και πάντων των Αγίων, δυσώπει, Θεοτόκε, του οικτηρήσαι ημάς.

Άλαλα τα χείλη των ασεβών, των μη προσκηνούντων, την εικόνα σου την σεπτήν, την ιστορηθείσαν, υπό του Αποστόλου, Λουκά ιερωτάτου, την Οδηγήτριαν.

Γοργοϋπηκόου την θαυμαστήν και σεπτήν εικόνα προσκηνήσωμεν, αδελφοί θαύματα τελούσαν και βρύουσαν ιάσεις και ταύτην μετά πόθου κατασπασώμεθα.

Έχοντες εικόνα σου την σεπτήν, ανύμφευτε Κόρη, ώς προπύργιον οχυρόν, προσφεύγομεν ταύτη καιρώ τω των κινδύνων και επηρείας πάσης απολυτρούμεθα.

Νύν καιρός ανάγκης ήλθεν ημίν, νυν παρέστη χρεία βοηθείας, Κόρη, της` λύτρωσαι ουν πάσης ανάγκης και κινδύνου και χείρα βοηθείας τάχιστα όρεξον.

Έχει μέν, Παρθένε, ο ουρανός σώμα και ψυχήν σου εξαστράπτοντα φαεινώς, έχει δε μορφήν σου μονή Δοχειαρίου την επικαλουμένην Γοργοϋπήκοον.

Άρον σου τα όματα, Μαριάμ, και ίδε ευσπλάγχνως τους εικόνι σου τη σεπτή παρεστώτας, Κόρη, και σε παρακαλούντας, και πλήρωσον αιτήσεις τούτων, πανύμνητε.

Ιδοιμι, Παρθένε, ψυχορραγών, εν καιρώ θανάτου, την εικόνα σου την σεπτήν, παραμυθουμένην, και ιλαρώς ορώσαν, και όψεις των δαιμόνων, αποδιώκουσαν.

Τέτρωμαι τω πόθω σου, Μαριάμ, φλέγει με ο έρως, καθοράν σου της ιεράς, εικόνος, Παρθένε, το κάλλος και την δόξαν, και κόρον ου λαμβάνω, του μεγαλύνειν σε.

Τι ανταποδώσομεν οι οικτροί, δούλοι σου, Παρθένε, αντί χάριτος της πολλής, ήνπερ ανεδείξω, ημίν χαρισαμένη, εικόνα σου την θείαν, πλούτον ουράνιον;

Και θυμιά ο Ιερεύς το Θυσιασήριον και τον λαόν, ή τον οίκον, όπου ψάλλεται η Παράκλησις και ημείς ψάλλομεν τα παρόντα Μεγαλυνάρια.
Παρθενομαρτύρων την καλλονήν, και των ιαμάτων, τον ακένωτον θησαυρόν, την νύμφην Κυρίου το σκεύος των χαρίτων, σεμνή Αναστασία, υμνολογούμεν σε.

Χαίροις παρθενίας ευπνεούς λειμών, ο τα άνθη φέρων, της αθλήσεως τα τερπνά, ων τη ευωδία, σεμνή Αναστασία, ημών τας διανοίας, ευφραίνεις πάντοτε.

Χαίρουσα ηγώνισαι ανδρικώς, υπέρ της αγάπης, του τεθέντος εν τω Σταυρώ΄ όθεν της ευκλείας, αυτού επιτυχούσα, ημάς, Αναστασία, αεί περίεπε.
Χαίροις των θαυμάτων ή λαμπηδών, ή της ευσπλαχνίας, διαυγάζουσα τας αυγάς, και των παθημάτων, διώκαουσα το σκότος, κλυτή Αναστασία, πιστών βοήθεια.

Χάριτος ενθέου τας παροχάς, δαψιλώς παρίζου, τοις αιτούσιν ολοσχερώς, την σήν προστασίαν, σεμνή Αναστασία, και θλιβερών παντοίων, ημάς διάσωζε.

Έγειρον εκ λάκκου αμαρτιών, την ψυχήν μου Μάρτυς, ολισθήσασαν χαλεπώς, και προς μετανοίας, οδήγησον με ατριβούς, Αναστασία Μάρτυς, τον ευφημούντα σε.

Δεύτε ευφημήσουμεν οι πιστοί, την Αναστασίαν, την ωραίαν και θαυμαστήν, του Χριστού την νύμφην, και μάρτυρα Κυρίου, τω της αγνοίας κάλλει θαυμαστωθείημεν.

Την Φαρμακολύτριαν των πιστών, και πεποικιλμένην διαχρύσω ιματισμώ τω της παρθενίας και τω των μαρτυρίων, Αναστασίαν πάντες ύμνοις γεραίρομεν.
Δεύτε ευφημήσωμεν, αδελφοί, τον κοινόν πατέρα, ιεράρχην τε του Χριστού, Θεωνάν τον πάνυ και της Μονής προστάτην, τον όντως θεοφόρων και αξιάγαστον.

Την σεπτήν σου κάραν, οι ευσεβείς, οι ευσεβείς, πόθω προσκυνούμεν, εν τη ομωνύμω τήδε Μονή, και ιάσεις πάντες, λαμβάνομεν πλουσίως, σεμνή Αναστασία, όθεν υμνούμεν σε.

Θησαυρόν ατίμητον και πηγήν, ιαμάτων έχει, ω Αναστασία, η ση Μονή, δεξιόν σου πόδα, δι΄ ού πάσας προφθάνεις τας νόσους και διώκεις, των ευφημούντων σε.
Μοναζόντων ώδε πάσα πληθύς, συν τω ηγουμένω ευσεβάστως σε ανυμνεί, κλεινή Αναστασία, και πόθω σε γεραίρει, την έφορον και φύλακα του σεμνείου σου.

Η Μονή σου αύτη η ευκλεής, αγίων κατέστη οικητήριον φωτεινόν, Θεοφανούς της πάνυ, ανάσσης βασιλίδος, και Θεωνά οσίου και αρχιποίμενος.

Πάντας τους προστρέχοντας επί σε, εν τώδε τω Όρει και Μονή σου τη ευκλεεί, χορήγησον τούτοις, σεμνή Αναστασία, ιάσεων την Χάριν και ρώσιν άπτωτον.

*Είτα*

Πάσαι των Αγγέλων αι στρατιαί, Πρόδρομε Κυρίου, Αποστόλων η δωδεκάς, οι Αγιοι Πάντες μετά της Θεοτόκου, ποιήσατε πρεσβείαν ει το σωθήναι ημάς.

**Ο Αναγνώστης:** ΑΜΗΝ. Άγιος ο Θεός, Άγιος Ισχυρός, Άγιος Αθάνατος, ελέησον ημάς, (τρίς)

Δόξα Πατρί και Υιώ και Αγίω Πνεύματι. Και νύν και αεί και εις τους αιώνας των αιώνων. Αμήν.

Παναγία Τριάς, ελέησον ημάς. Κύριε, ιλάσθητι ταις αμαρτίαις ημών,. Δέσποτα, συγχώρησον τας ανομίας ημίν, Άγιε, επίσκεψαι και ίασαι τας ασθενείας ημών, ένεκεν του ονόματός σου.
Κύριε, ελέησον, (τρίς)

Δόξα Πατρί και Υιώ και Αγίω Πνεύματι. Και νύν και αεί και εις τους αιώνας των αιώνων. Αμήν.
Πάτερ ημών ο εν τοις ουρανοίς, αγιασθήτω το όνομά σου. Ελθέτω η βασιλεία σου. Γενηθήτω το θέλημά σου, ως εν ουρανώ και επί της γης. Τον άρτον ημών τον επιούσιον δος ημίν σήμερον και άφες ημίν τα οφειλήματα ημών, ως και ημείς αφίεμεν τοις οφειλέταις ημών, Και μη εισενέγκης ημάς εις πειρασμόν, αλλά ρύσαι ημάς από του πονηρού.

**Ο Ιερεύς:** Ότι σου εστίν

*Οι Ψάλται το Τροπάριον*

*Ήχος δ΄. Ό υψωθείς εν τω Σταυρώ.*

Την αθληφόρον του Χριστού την πανένδοξον, Αναστασία οι πιστοί ικετεύσωμεν, όπως Χριστός δεήσεσιν αυτής τειχίσηται ημάς, όνπερ επεπόθησεν ως Νυμφίον ουράνιον, πάντα αποπτύσασα πρός την τούτου

απόλαυσιν. Κατ΄ αοράτων γαρ εχθρών και ορατών, μεσίτις πέλει Κυρίω ευπρόσδεκτος.

**Ο Ιερεύς την Εκτενή**

Ελέησον ημάς ο Θεός

Έτι δεόμεθα υπέρ του διαφυλαχθήναι

Επάκουσον ημών ο Θεός κτλ.

*Η Μικρά Απόλισις*
*Των πιστών ασπαζομένων της εικόνος ψάλλομεν*

*Το επόμενον τροπάριον*
*Ήχος β΄. Ότε εκ του ξύλου.*

Μάρτυς του Χριστού πανευκλεής, σκέπη των πιστών και προστάτις, Αναστασία σεμνή, πάσης περιστάσεως, βιαίας λύτρωσαι, τους θερμώς σοι προστρέχοντος, πάσαν ευλογίαν, θείας αγαθότητος εξαιτουμένη αυτοίς, όπως εν σεμνή πολιτεία και ειρηνική καταστάσει, τον σε μεγαλύνοντα δοξάζωμεν

Glorifying God Through His Light
50 Hour Prayer Vigil

Prepared, edited, and provided by
The Prayer Vigil Committee
520-903-8857